μάχησθε, ἃ πόρρωθεν ἔξεστι φυλάξασθαι, καὶ τοὺς νῦν περιοφθέντας ἐφηδομένους ὕστερον ἕξεθ' οἷς ἂν πάσχητε.

## ΙΔ [ΙΕ]

1 Περὶ μὲν τῶν παρόντων, ὦ ἄνδρες Ἀθηναῖοι, πραγμάτων τῇ πόλει, καίπερ οὐκ ἐχόντων ὡς δεῖ, οὐ πάνυ μοὶ δοκεῖ τῶν χαλεπῶν εἶναι ζητῆσαι τί ἂν τις πράξας βελτίω ποιήσειεν. Ὅντινα μέντοι χρὴ τρόπον πρὸς ὑμᾶς εἰπεῖν περὶ αὐτῶν, τοῦτο παμπόλλην δυσκολίαν ἔχειν νομίζω, οὐχ ὡς οὐ συνησόντων ὅ τι ἂν τις λέγῃ, ἀλλ' οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον ἢ τὰ βέλτιστα τοῖς πράγμασιν συνειθίσθαι μοι δοκεῖτ' ἀκούειν, ὥστε δέδοικα μὴ τῷ νῦν τὰ βέλτιστ' εἰπόντι, ἣν τοῖς τότε ἐξηπατηκόσιν προσῆκεν ἀπέχθειαν ὑπάρχειν παρ' ὑμῶν, ταύτην ἀπενέγκασθαι συμβῇ. 2 Ὁρῶ γὰρ ὑμᾶς πολλάκις οὐ τοὺς αἰτίους τῶν πραγμάτων μισοῦντας, ἀλλὰ τοὺς ὑστάτους περὶ αὐτῶν εἰπόντας τι πρὸς ὑμᾶς. Οὐ μὴν ἀλλὰ καίπερ οὕτως ἀκριβῶς ταῦτα λογιζόμενος, ὅμως οἶμαι δεῖν, πάντα παρεὶς τἄλλα, περὶ αὐτῶν τῶν παρόντων ἃ κράτιστα νομίζω λέγειν.

## ΙΕ [ΙϚ]

Ἐβουλόμην ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ᾗ πρὸς τοὺς ἄλλους ἅπαντας εἰώθατε προσφέρεσθαι φιλαν-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416057004/19 UNIVERSITÄT LEIPZIG